## *ΑΓΑΜΕΜΝΩΝ*

θεράπων Ἀγαμέμνονος ὁ προλογιζόμενος, οὐχὶ ὁ ὑπὸ Αἰγίϲθου ταχθείϲ [cf. Hom. *Od.* 4. 525] add. M sub titulo Ἀγαμέμνων ante prologum

tetralogia acta anno 458 a.C.

codd. M (1–310, 1067–1159), V (1–348), G (1–45, 1095–1673), F et Tr

accedit P. Oxy. 2178 (1–17, 20–30)

αβγδεζηθικλμνξοπρςτυφχψω

- θεοὺϲ μὲν αἰτῶ τῶνδ' ἀπαλλαγὴν πόνων,
- φρουρᾶϲ ἐτείαϲ μῆκοϲ, ἣν κοιμώμενοϲ
- ϲτέγαιϲ Ἀτρειδῶν ἄγκαθεν, κυνὸϲ δίκην
- ἄϲτρων κάτοιδα νυκτέρων ὁμήγυριν
- καὶ τοὺϲ φέρονταϲ χεῖμα καὶ θέροϲ βροτοῖϲ



## *ΑΓΑΜΕΜΝΩΝ*

### *ΦΥΛΑΞ*

θεοὺϲ μὲν αἰτῶ τῶνδ' ἀπαλλαγὴν πόνων,
φρουρᾶϲ ἐτείαϲ μῆκοϲ, ἣν κοιμώμενοϲ
ϲτέγαιϲ Ἀτρειδῶν ἄγκαθεν, κυνὸϲ δίκην,
ἄϲτρων κάτοιδα νυκτέρων ὁμήγυριν
καὶ τοὺϲ φέρονταϲ χεῖμα καὶ θέροϲ βροτοῖϲ
λαμπροὺϲ δυνάϲταϲ, ἐμπρέπονταϲ αἰθέρι
ἀϲτέραϲ, ὅταν φθίνωϲιν ἀντολαῖϲ τε τῶν·
καὶ νῦν φυλάϲϲω λαμπάδοϲ τὸ ϲύμβολον,
αὐγὴν πυρὸϲ φέρουϲαν ἐκ Τροίαϲ φάτιν
ἁλώϲιμόν τε βάξιν· ὧδε γὰρ κρατεῖ
γυναικὸϲ ἀνδρόβουλον ἐλπίζον κέαρ·
εὖτ' ἂν δὲ νυκτίπλαγκτον ἔνδροϲόν τ' ἔχω
εὐνὴν ὀνείροιϲ οὐκ ἐπιϲκοπουμένην
ἐμήν· φόβοϲ γὰρ ἀνθ' ὕπνου παραϲτατεῖ,
τὸ μὴ βεβαίωϲ βλέφαρα ϲυμβαλεῖν ὕπνωι·
ὅταν δ' ἀείδειν ἢ μινύρεϲθαι δοκῶ,
ὕπνου τόδ' ἀντίμολπον ἐντέμνων ἄκοϲ,
κλαίω τότ' οἴκου τοῦδε ϲυμφορὰν ϲτένων
οὐχ ὡϲ τὰ πρόϲθ' ἄριϲτα διαπονουμένου.
νῦν δ' εὐτυχὴϲ γένοιτ' ἀπαλλαγὴ πόνων
εὐαγγέλου φανέντοϲ ὀρφναίου πυρόϲ.

ὦ χαῖρε λαμπτὴρ νυκτόϲ, ἡμερήϲιον
φάοϲ πιφαύϲκων καὶ χορῶν κατάϲταϲιν
πολλῶν ἐν Ἄργει τῆϲδε ϲυμφορᾶϲ χάριν.

2 ἣν FGTr: δ' ἣν MV   4–6 Achill. in Arat. p. 28 Maass   5 βροτοῖϲ θέροϲ FGTr   6 αἰθέρι: ἐν θέρει V et Achill. cod. Vat.   7–30 initia exstant in P. Oxy. 2178   7 versus multis suspectus; habuit P. Oxy.   ἀντολαῖϲ Margoliouth: -λάϲ codd.   11 Io. Siceliota, schol. ad Hermog. π. ἰδ. 6. 225 Walz   ἐλπίζων, sscr. ο, MV   17 ἐκτέμνων F(sscr. εν)G   23 φάοϲ MV P. Oxy.: νῦν φῶϲ FGTr